πᾶν τὸ χαριζόμενον καλόν ἐστιν, παραλαμβάνει, μήτε τοῦ Σωκράτους τοῦτο δεδωκότος μήτε τοῦ Πώλου αὐτὸ κατασκευάσαντος· καὶ πάλιν ἑαυτὸν παραλογίζεται· εἰρηκότος γὰρ τοῦ Σωκράτους, ὅτι ἡ ῥητορικὴ ἐμπειρία ἐστίν, ἡ ὀψοποιητικὴ ἐμπειρία ἐστίν, ἐκεῖνος συνάγει, ὅτι ἡ ῥητορικὴ ὀψοποιητική ἐστιν, ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν ὄντος τοῦ συλλογισμοῦ· εἰδὼς ὅτι οὐ τὰ ὑπὸ τὸ αὐτὸ ἀναγόμενα ἤδη καὶ αὐτά εἰσιν, οὐδὲ γὰρ ἐπειδὴ καὶ ἄνθρωπος καὶ ἵππος ὑπὸ τὸ αὐτὸ ἀνάγονται τουτέστι τὸ ζῷον, ἤδη καὶ ταὐτόν ἐστιν ἄνθρωπος καὶ ἵππος· ὥστε οὐδὲ ὀψοποιητικὴ καὶ ῥητορικὴ ταὐτόν, εἰ καὶ ἐμπειρίαι ἀμφότεραι.

p. 462b. *ἐν τῷ συγγράμματι.*

εἰ μέμνησθε, ἐλέγομεν, ὅτι οὐκ εἶπεν ὁ Πῶλος ἐξ αὐτοσχε- **5**
δίου τοὺς λόγους τοὺς ἀνωτέρω, ἀλλ' ἣν αὐτοὺς προγράψας καὶ μελετήσας· αἰνιττόμενος οὖν λέγει, ὅτι ἐνέτυχον τῷ συγγράμματι ἔναγχος.

p. 462c. *εἰ μή τι σὺ ἄλλο λέγεις.*

ὁρᾷς ὅτι περὶ τῆς δημώδους ῥητορικῆς ἐστιν ὁ λόγος· **6**
φησὶ γὰρ ὅτι ναὶ ἐμπειρίαν αὐτὴν λέγω, εἰ μή τι σὺ ἄλλο λέγῃς· ἀντὶ τοῦ εἰ μὴ περὶ τῆς ἀληθινῆς διαλέγῃ·

p. 462d. *ἔρου νῦν με.*

προτρέπεται αὐτὸν ἐρωτᾶν καὶ ὁ Σωκράτης λέγει αὐτῷ τὰς **7**
ἐρωτήσεις, ἃς ὀφείλει ἐρωτῆσαι αὐτὸν τὸν Σωκράτην καὶ βλέπε, ὅτι ἀνωτέρω θέλων ἡγεῖσθαι καὶ μὴ ἀξιῶν ἐρωτᾶσθαι νῦν οὐδὲ δύναται ἐρωτῆσαι, ἀλλ' ἐκ τοῦ Σωκράτους τὰς ἐρωτήσεις λαμβάνει.

p. 462d. *ἀλλὰ τί; φάθι.*

τοῦ Σωκράτους ἔστι τοῦτο λέγοντος, ὅτι εἰπέ μοι σύ, ὦ **8**
Πῶλε, ἀλλὰ τί ἐστιν.

p. 462e. *ταὐτὸν ἄρα ἐστίν.*

ἰδοὺ πῶς κακῶς συμπεραίνει· οὐκ ἔστι γὰρ ταὐτόν, εἰ καὶ **9**
τῆς αὐτῆς ἐπιτηδεύσεως μόριόν ἐστι τῆς ἐμπειρίας.

---

30 ἄρα M ἆρ' cod. Plat. F, δ' codd. Plat. BT